ἡ γένεσίς σου· ἐν ᾗ ἡμέρᾳ ἐτέχθης, οὐκ ἔδησαν τοὺς μαστούς σου,
καὶ ἐν ὕδατι οὐκ ἐλούσθης οὐδὲ ἁλὶ ἡλίσθης καὶ σπαργάνοις οὐκ
5 ἐσπαργανώθης, 5 οὐδὲ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπὶ σοὶ τοῦ ποι-
ῆσαί σοι ἓν ἐκ πάντων τούτων τοῦ παθεῖν τι ἐπὶ σοί, καὶ ἀπερ-
ρίφης ἐπὶ πρόσωπον τοῦ πεδίου τῇ σκολιότητι τῆς ψυχῆς σου ἐν
6 ᾗ ἡμέρᾳ ἐτέχθης. 6 καὶ διῆλθον ἐπὶ σὲ καὶ εἶδόν σε πεφυρμένην
7 ἐν τῷ αἵματί σου καὶ εἶπά σοι Ἐκ τοῦ αἵματός σου ζωή· 7 πλη-
θύνου· καθὼς ἡ ἀνατολὴ τοῦ ἀγροῦ δέδωκά σε. καὶ ἐπληθύνθης
καὶ ἐμεγαλύνθης καὶ εἰσῆλθες εἰς πόλεις πόλεων· οἱ μαστοί σου
ἀνωρθώθησαν, καὶ ἡ θρίξ σου ἀνέτειλεν, σὺ δὲ ἦσθα γυμνὴ καὶ
8 ἀσχημονοῦσα. 8 καὶ διῆλθον διὰ σοῦ καὶ εἶδόν σε, καὶ ἰδοὺ καιρός
σου καιρὸς καταλυόντων, καὶ διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σὲ
καὶ ἐκάλυψα τὴν ἀσχημοσύνην σου· καὶ ὤμοσά σοι καὶ εἰσῆλθον
9 ἐν διαθήκῃ μετὰ σοῦ, λέγει κύριος, καὶ ἐγένου μοι. 9 καὶ ἔλουσά
σε ἐν ὕδατι καὶ ἀπέπλυνα τὸ αἷμά σου ἀπὸ σοῦ καὶ ἔχρισά σε
10 ἐν ἐλαίῳ 10 καὶ ἐνέδυσά σε ποικίλα καὶ ὑπέδησά σε ὑάκινθον καὶ
11 ἔζωσά σε βύσσῳ καὶ περιέβαλόν σε τριχάπτῳ 11 καὶ ἐκόσμησά σε
κόσμῳ καὶ περιέθηκα ψέλια περὶ τὰς χεῖράς σου καὶ κάθεμα περὶ
12 τὸν τράχηλόν σου 12 καὶ ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου καὶ
τροχίσκους ἐπὶ τὰ ὦτά σου καὶ στέφανον καυχήσεως ἐπὶ τὴν κε-
13 φαλήν σου· 13 καὶ ἐκοσμήθης χρυσίῳ καὶ ἀργυρίῳ, καὶ τὰ περι-
βόλαιά σου βύσσινα καὶ τρίχαπτα καὶ ποικίλα· σεμίδαλιν καὶ ἔλαιον
14 καὶ μέλι ἔφαγες καὶ ἐγένου καλὴ σφόδρα. 14 καὶ ἐξῆλθέν σου ὄνομα
ἐν τοῖς ἔθνεσιν ἐν τῷ κάλλει σου, διότι συντετελεσμένον ἦν ἐν
15 εὐπρεπείᾳ ἐν τῇ ὡραιότητι, ᾗ ἔταξα ἐπὶ σέ, λέγει κύριος. — 15 καὶ
ἐπεποίθεις ἐν τῷ κάλλει σου καὶ ἐπόρνευσας ἐπὶ τῷ ὀνόματί σου
καὶ ἐξέχεας τὴν πορνείαν σου ἐπὶ πάντα πάροδον, ὃ οὐκ ἔσται.
16 16 καὶ ἔλαβες ἐκ τῶν ἱματίων σου καὶ ἐποίησας σεαυτῇ εἴδωλα
ῥαπτὰ καὶ ἐξεπόρνευσας ἐπ᾽ αὐτά· καὶ οὐ μὴ εἰσέλθῃς, οὐδὲ μὴ
17 γένηται. 17 καὶ ἔλαβες τὰ σκεύη τῆς καυχήσεώς σου ἐκ τοῦ χρυ-
σίου μου καὶ ἐκ τοῦ ἀργυρίου μου, ἐξ ὧν ἔδωκά σοι, καὶ ἐποίησας
18 σεαυτῇ εἰκόνας ἀρσενικὰς καὶ ἐξεπόρνευσας ἐν αὐταῖς· 18 καὶ ἔλα-
βες τὸν ἱματισμὸν τὸν ποικίλον σου καὶ περιέβαλες αὐτὰ καὶ τὸ

4 εδησας B† | εν υδατι ουκ ελουσθης] + του χριστου μου A†: cf. 𝔐; de additamentis christianis cf. Sept. X (1931), prooem. § 4 4 || 5 ουδε εφεισ.] ου φεισεται A† | ο > B† | του ποι. σοι εν > B*† || 6 σου 1⁰ > B*† | ζωη] η ζωη σου A || 7 init.] pr. και A | συ δε] και A || 8 καιρος 2⁰ V] pr. και B, pr. ως A | κυριος BA*pau.] pr. αδωναι rel.: item in 14, cf. 3 5 5 || 12 περι] επι A || 13 χρυσιω και αργ.] κοσμω χρυσω κ. αργυρω A | σφοδρα] + σφοδρα A || 14 σου 1⁰] σοι BL = 𝔐 | εν 2⁰] επι A | κυριος: cf. 8 || 15 και επεποιθεις] κατεπεπ. B†, και κατεπεπ. Apau. | εν] επι A | ο ουκ εσται] > B, ※αυτω εγινου Q(†), pr. αυτω εγενετο V || 16 ουδε] ουδ ου A || 17 εκ 1⁰] pr. και A || 18 αυτα] -τας B*†